μὲν οὖν ὁ ἐντρεπτικὸς προέρχεται λόγος, ὁ δὲ ἀποδεικτικὸς τοιοῦτός ἐστιν. οἱ ῥήτορες οἱ ἐρχόμενοι πρὸς σέ, εἰδότες τὰ δίκαια ἔρχονται πρός σε ἢ οὐκ εἰδότες· εἰ μὲν μὴ εἰδότες θέλουσιν ὠφεληθῆναι, εἰ δὲ εἰδότες, ἆρα τὰ μὲν δίκαια ἴσασιν αὐτοί, ὅτι φύσει εἰσίν, τοὺς δὲ λόγους οἷς χρήσοιντο περὶ αὐτῶν θέλουσι μαθεῖν· ἢ τοὺς μὲν λόγους ἴσασι, τὰ δὲ δίκαια θέλουσι μαθεῖν· εἰ μὲν γὰρ μηδὲν ἴσασι, μαθεῖν δὲ θέλουσι παρὰ σοῦ, δίδαξον αὐτούς· εἰ δὲ τὰ δίκαια μὲν ἴσασι, τοὺς δὲ λόγους οὔ, δίδαξον τοὺς λόγους· εἰ δὲ τὰ δίκαια θέλουσιν, αὐτὰ δίδαξον· ταῦτα δεῖ γὰρ πρὸ πάντων τὰ ὑποβεβλημένα τῇ τέχνῃ εἰδέναι· νῦν δὲ ὁρῶμεν, ὅτι οὐδὲν τούτων διδάσκεται ὁ ἐρχόμενος, πανταχοῦ γὰρ οἴεσθε τὸ δίκαιον θέσει εἶναι, ὥστε οὐδὲ ὅλως περὶ δικαίων ποιεῖσθε τοὺς λόγους· καὶ ὁ μὲν Γοργίας δίδωσιν, ὅτι περὶ δίκαια ἔχομεν, ὁ δὲ Πῶλος ἀγανακτεῖ καὶ λέγει, ὅτι κακῶς, ὦ Γοργία, εἶπας, ὅτι περὶ ταῦτα μόνα, καὶ γὰρ καὶ περὶ ἄδικα. πῶς δὲ ἐλέγξει τὸν Πῶλον, ἐν ἐκείνοις τοῖς λόγοις μαθησόμεθα.

p. 458e. οὐ διδάσκοντα ἀλλὰ πείθοντα.

καὶ μὴν καὶ ὁ διδάσκων πείθει, ἀλλ' ὁ μὲν διδάσκων μετὰ 4
ἐπιστήμης, ὁ δὲ ῥήτωρ ὁ ψευδὴς αὐτὸ τοῦτο πεῖσαι θέλει, ψευδὴς δὲ εἰπών, ἐπειδὴ καὶ ἐν Φαίδρῳ ἐπαινεῖ τὴν ἀληθῆ ῥητορικὴν καὶ ἐν τούτῳ τῷ διαλόγῳ.

p. 459a. οὐκοῦν τὸ ἐν ὄχλῳ τοῦτό ἐστιν.

ἰδοὺ ἀπὸ τοῦ ὄχλου ἤρξατο καὶ οὐκ ἀπὸ τοῦ μὴ εἰδότος. 5

p. 459b. οὐκ εἰδὼς ἄρα.

ὅρα, ὅτι νῦν συμπεραίνων ἀπὸ τοῦ μὴ εἰδότος ἤρξατο. 6

p. 459e. οὐκοῦν πολλὴ ῥᾳστώνη.

μεγάλη οὖν ἡδονὴ τὸ μίαν τέχνην εἰδότα καὶ μὴ μαθόν- 7
τα τὰς ἄλλας μὴ εἶναι ἐλάττονα τῶν δημιουργῶν· ταῦτα μὲν ὁ Γοργίας. δεῖ δὲ εἰδέναι, ὅτι οὐδὲ ὁ νοῦς ἄνευ ἡδονῆς

2 mg. β' 30 mg. ση. ὅτι μὴ ἄνευ ἡδονῆς ἐστὶν ὁ νοῦς· τῆς ἀρίστης μέντοι

13 ὅλως] -λως supr. lin. add. M^c